***Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος*** (Ψαλμ. 117, 14)

***Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.*** (Ψαλμ. 145, 2)

*************************************************************************


Δρος Χαραλάμπους Μ. Μπούσια

**Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας**


# Α Κ Ο Λ Ο Υ Θ Ι Α

**ΤΟΥ ΑΡΤΙΩΣ ΕΝ ΑΓΙΩΝΥΜῼ ΟΡΕΙ ΕΚΛΑΜΨΑΝΤΟΣ**

ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΣΗΦ

## ΤΟΥ ΗΣΥΧΑΣΤΟΥ

*

*

*   *   *   *   *

*

*


**Ἀθῆναι   2020**

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

**ΤΟΥ ΑΡΤΙΩΣ ΕΝ ΑΓΙΩΝΥΜῼ ΟΡΕΙ ΕΚΛΑΜΨΑΝΤΟΣ**

## ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΣΗΦ

## ΤΟΥ ΗΣΥΧΑΣΤΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΣΤ´ Αὐγούστου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

******************************************

# ΕΝ Τῼ ΜΙΚΡῼ ΕΣΠΕΡΙΝῼ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α´.** Πανεύφημοι Μάρτυρες.

Λευκῶν νήσου Πάρου εὐθαλές,
Ἰωσήφ, ἐκβλάστημα,
ὄρος τοῦ Ἄθωνος ἥδυνας
κατορθωμάτων σου
ἄρτι εὐωδίᾳ
καὶ χοροὺς κατηύφρανας
σεπτῶν ἡσυχαστῶν, ὧν ὁμόζηλος
πόνων ἀσκήσεως
ἀνεδείχθης καὶ ἰσότιμος
τῆς ἐν πόλῳ
εὐκλείας, ἀοίδιμε.

Ποθῶν τὴν ἀρίστην, Ἰωσήφ,
ἀγωγὴν καὶ ἄμεμπτον
ἀπὸ παιδός, ὄρος Ἄθωνος
τὸ Ἁγιώνυμον
ὅλῃ σου ἐφέσει
τῆς ψυχῆς κατέλαβες
καὶ σπήλαιον σμικρόν, μάκαρ, ᾤκησας,
ὅπερ ἀνέδειξας

εὐκλεῆ κονίστραν πόνων σου
νυχθημέρων,
πρὸς πλάνου ἐκνίκησιν.

Διδάσκαλον ἔχων Δανιήλ,
τὸν καθαγιάσαντα
τὰ Κατουνάκια δάκρυσι,
σπήλαιον ᾤκησας
τούτου εὐλογίᾳ,
Ἰωσὴφ πανόσιε,
ἐν ᾧ τῷ ἐφετῷ τῆς καρδίας σου
μόνον Παντάνακτι
προσωμίλεις καὶ τῷ δαίμονι
σοῖς καμάτοις
συντόνοις ἐπύκτευσας.

Ὁσίων πατέρων νεαυγῶν,
Ἰωσὴφ θεόσοφε,
ἰθύντωρ ὡς ἀπλανέστατος
τούτους κατηύθυνας
πρὸς τερπνοὺς λειμῶνας
Παραδείσου τάγμασιν
Ἀγγέλων παμφαῶν συνευφραίνεσθαι,
ἐν οἷς Ἀρσένιον,
Χαραλάμπη καὶ ὁμώνυμον
ξυνωρίδα
Ἐφραίμ, πνευματέμφορε.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τὸν ἐν ἡσυχίᾳ καὶ νήψει διελθόντα παρόντος βίου τὸν δόλιχον
καὶ οὐρανίου ἀξιωθέντα εὐκλείας, Ἰωσήφ, εὐφημήσωμεν,
ὡς Ἁγιορειτῶν Πατέρων τιμαλφὲς σεμνολόγημα,
ἐν ἀγαλλιάσει λέγοντες·
Ὁ ἀρότρῳ εὐχῶν σου γεωργήσας καρδίας μαθητῶν σου
καὶ πάντων τῶν εἰς σὲ καταφευγόντων,
πίανον καὶ ἡμῶν τὰς ξηρὰς καὶ ἀνίκμους καρδίας
πρὸς πνευματικὴν καρποφορίαν καὶ θέωσιν.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

**Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χαῖρε, ἡσυχαστῶν
νεολαμπῶν ἀκρότης,
ὁ γνώμων ἀκτησίας
καὶ προσευχῆς ἀόκνου,
ὦ Ἰωσὴφ πανθαύμαστε.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Ὅσιε Ἰωσήφ,
σπηλαίου ὁ οἰκήτωρ
ἐν Ἄθωνι, ὃ ῥείθροις
ἡγίασας δακρύων,
παρὰ Θεοῦ δεδόξασαι.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Μέλπομεν, Ἰωσήφ,
συντόνους σου καμάτους
ἐν τοῖς Κατουνακίοις,
Μικρᾷ Ἁγίᾳ Ἄννῃ
καὶ Νέᾳ Σκήτῃ, Ὅσιε.

**Δόξα. Τριαδικόν.**

Δόξα Σοι, ὁ Θεός,
ὁ Ἰωσὴφ ἀρτίως
Ἡσυχαστὴν δοξάσας,
Τριὰς ὑπεραγία,
σεπτὴ καὶ ἀδιαίρετε.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἔφορε καὶ φρουρὲ
Ἁγιωνύμου ὄρους,
Κυρία Θεοτόκε,
ἁγίαζε καὶ σκέπε
τοὺς πίστει ἀνυμνοῦντάς σε.

Νῦν ἀπολύεις...**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

******************************************************************************

# ΕΝ Τῼ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Ἐκ πολυτέκνων γονέων
βλαστὸν θεόσδοτον,
τῶν ἐνοικούντων Λεύκας
νήσου Πάρου, εὐσχήμως
τιμήσωμεν ἐν ὕμνοις νῦν Ἰωσήφ,
ἀσκητὴν θεοείκελον,
κατορθωμάτων ἀῤῥήτων τερπναῖς ὀδμαῖς
καθηδύναντα τὸν Ἄθωνα.

Ἡσυχαστὴν σπηλαιώτην,
σεπτὸν συνέκδημον
ἐνθέου Ἀρσενίου,
ἀπλανῆ ποδηγέτην
Ἐφραὶμ καὶ Χαραλάμπους καὶ Ἰωσὴφ
ἀρετῆς πρὸς κατάκτησιν
καὶ εἰς ἐπάλξεις πρὸς ἄνοδον οὐρανῶν
οἱ πιστοὶ ἐγκωμιάσωμεν.

Παρὰ τοὺς πόδας τὸ πρῶτον
τὸν μαθητεύσαντα
ἐν τοῖς Κατουνακίοις
Δανιὴλ τοῦ Σμυρναίου
καὶ εἶτα αὐταδέλφων νῦν, Ἰωσήφ,
ξυνωρίδι τιμήσωμεν,
Ἐφραὶμ ἐν ὕμνοις εὐτάκτοις καὶ Ἰωσήφ,
Ἀθωνίτην πνευματέμφορον.

Καταπαλαίσαντα πόνοις
στεῤῥᾶς ἀσκήσεως
τὸν πτερνιστὴν τοῦ γένους
τῶν βροτῶν δεῦτε πάντες
ὑμνήσωμεν ἐκθύμως νῦν Ἰωσήφ,
ἀμαράντινον στέφανον
παρὰ Κυρίου λαβόντα ὡς ἀληθῶς,
στεφοδότου Παντοκράτορος.

Τὸν ἀφανῶς ἐν σπηλαίῳ
ἀγωνισάμενον,
πυκτεύοντα τὸν πλάνον,
γρηγοροῦντα καὶ πόθῳ
εὐχὴν τὴν ψυχοτρόφον τοῦ Ἰησοῦ
ἐργαζόμενον μέλψωμεν,
θεοειδέστατον ᾄσμασιν Ἰωσήφ,
σαρκοφόρον ὥσπερ ἄγγελον.

Χαῖρε, φανὲ ἐγκρατείας
φωτολαμπέστατε,
ὁ καταυγάσας ἄρτι
φωταυγείᾳ σῶν πόνων
ἀσκήσεως συντόνων δήμους πιστῶν
καὶ ἀζύγων συστήματα
Ἁγίου Ὄρους, ὑπέρφωτε Ἰωσήφ,
ὁ οἰκῶν νῦν φῶς ἀπρόσιτον.

**Δόξα. Ἦχος πλ. β΄.**

Νηπτικὸν πατέρα,
ἡσυχαστὴν καὶ ἐραστὴν προσευχῆς ἀδιαλείπτου,
δεῦτε, πάντες, Ἰωσὴφ μακαρίσωμεν τὸν κεχαριτωμένον,
ὡς πολύτιμον Ἄθωνος κειμήλιον
καὶ σπηλαιωτῶν ὁσίων ὡράϊσμα
ἐν κατανύξει λέγοντες·
Ἀλεῖπτα μονοτρόπων καὶ χειραγωγὲ ἀπλανέστατε,
ὁ βιαστὴς τῆς οὐρανίου Βασιλείας
καὶ ὑφηγήτωρ τῆς αἰωνίου ἀγαλλιάσεως,
ὁδήγησον εὐχαῖς σου καὶ τοὺς τιμῶντάς σε
πρὸς ἀρετῆς ὁλοκλήρωσιν καὶ θέωσιν.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.**
(Κεφ. β΄ 1 - 11 )

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα

αὐξηθῇς ἐπ’ ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ’ αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη; Ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
(Κεφ. α΄ 1 - 10 )

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, οὐδ’ οὐ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
(Κεφ. γ΄ 1 - 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα

εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα.**

**Ἦχος α΄.**

Εὐφραίνεσθε φιλοσίων οἱ δῆμοι
καὶ πανηγυρίσατε Ἁγιορεῖται πάντες
συνελθόντες σήμερον τιμῆσαι τὴν μνήμην
Ἰωσήφ, τοῦ νεαυγοῦς τῆς Ἐκκλησίας φωστῆρος,
ἀστραπαῖς εὐχῆς ἀδιαλείπτου
καὶ ἀγωγῆς ἰσαγγέλου φωτίσαντος τὰ σύμπαντα·
οὗτος γὰρ ὡς ἄσαρκος πολιτευσάμενος
καὶ εἰς ἀκρότητα καταντήσας ἀπαθείας καὶ νήψεως
μετέστη πρὸς Ὃν ἠγάπησε Κύριον
ἀσιγήτως πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β΄.**

Σεμνύνεται Πάρος, Ἰωσήφ, τοῖς σπαργάνοις σου
καὶ μεγαλύνει Ἄθως τὴν ἐν αὐτῷ ἀσκητικήν σου πολιτείαν,
Ἡσυχαστά, ὁ νυχθημερὸν νήφων καὶ εὐχόμενος·
σὺν αὐτοῖς καὶ πάντες οἱ ζηλοῦντες τὰ σὰ κατορθώματα
ὑμνοῦμεν τὴν πρὸς σεαυτὸν αὐστηρότητα
καὶ τὴν πρὸς τοὺς προσιόντας σοι διδακτικότητα καὶ πατρότητα·
καὶ νῦν τιμῶντες τὴν ἀεισέβαστον μνήμην σου
τὰς θεοπειθεῖς λιτάς σου ἀπεκδεχόμεθα
πρὸς ζωὴν τὴν αἰώνιον.

**Ἦχος γ΄.**

Κατουνακίων ἡ ἔρημος,
Ἁγίου Βασιλείου ἡ δυσπρόσιτος Σκήτη,
Μικρᾶς Ἁγίας Ἄννης τὸ σπήλαιον
καὶ Νέας Σκήτεως ἡ τοῦ Εὐαγγελισμοῦ Καλύβη
ὁμολογοῦσι τὰ ἀσκητικά σου κατορθώματα,

Ἰωσὴφ ἀξιάγαστε·
σὺν αὐτοῖς καὶ ἡμεῖς μεγαλύνοντές σε
ὡς καταπατητὴν νοητῶν λεόντων καὶ δρακόντων
τὰς εὐχάς σου αἰτούμεθα πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

**Ἦχος δ΄.**

Τὸν δι’ εὐχῆς καὶ σιωπῆς καὶ νήψεως
φυλάξαντα νοὸς τὴν πεντάριθμον θυρίδα
καὶ καθάραντα ἑαυτὸν πάσης χοϊκῆς συναφείας,
Ἰωσήφ, τὸν ὁσιώτατον νηπτικὸν πατέρα, εὐφημήσωμεν
ὡς ἀρετῆς καταγώγιον ἐν ἀγαλλιάσει λέγοντες·
Ὁ μὴ εὐμοιρήσας  λαβεῖν παιδείαν τὴν θύραθεν,
ἀλλὰ ἐποφθεὶς Θεοῦ σοφίας δοχεῖον,
σόφισον τοὺς ἀσόφους ἱκέτας σου
πρὸς τῶν αἰωνίων ἀγαθῶν ἀναζήτησιν.

**Δόξα. Ἦχος ὁ αὐτός.**

Ὑποτακτικῶν ὁ εὐμοιρήσας ἔχειν ὁμάδα ὁσίων,
ὑπακοῇ καὶ ὑπομονῇ ἀναβάντων ἀρετῶν τὴν κλίμακα,
καὶ ἐν εἰρήνῃ τελευτήσας ἀγγέλων συμπολίτης γέγονας,
Ἰωσὴφ παμμακάριστε·
ὅθεν ὡς ἔνοικον οὐρανίων τιμῶντές σε δωμάτων,
νῦν Χριστῷ συνόντα καὶ Αὐτοῦ ὁρῶντα τὴν Θαβώριον δόξαν,
τὰς εὐχάς σου πρὸς Αὐτὸν ἐξαιτούμεθα,
τὸν δωρούμενον πᾶσι τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, Ἀθωνιτῶν, Ἰωσήφ,
Ὁσίων κλέος καὶ ἀδάμας πολύεδρος
πατέρων, τὴν ἡσυχίαν
φιλούντων, ὑπακοῆς
καὶ κακοπαθείας
στῦλε ἄσειστε,
εὐχῆς ἐργαστήριον
νοερᾶς καὶ χρηστότητος
ἠθῶν κοσμῆτορ,
ὁ Ἀρσένιον σύνοικον

καὶ ὁμότροπον
ἔχων ὅσιον
πόνων τῶν νυχθημέρων σου
καὶ θείαν συνοδίαν σου,
Ἐφραὶμ ἰσαπόστολον
καὶ Χαραλάμπη θεόπνουν
καὶ Ἰωσήφ, ἐπανδρώσαντα
τοῦ Βατοπεδίου
τὴν Μονήν, πνευματοφόρε
πάτερ πάνολβιε.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαίροις, ὁ ἐπαρθείς Ἰωσήφ,
εἰς ψυχοτρόφου ἀρετῆς ὕψος ἄῤῥητον
καμάτοις σου νυχθημέροις,
ἀδιαλείπτῳ εὐχῇ
νήψει, ἀκτησίᾳ,
θείοις δάκρυσι
καὶ κλίσεσιν, ὅσιε,
τῶν γονάτων, ἰσάγγελε,
καὶ ἁγιάσας
Κατουνάκια Ἄθωνος,
Σκήτην δύσβατον
Βασιλείου θεόφρονος,
Σπήλαιον τῆς προμήτορος,
Μικρᾶς θείας Σκήτεως
Ἁγίας Ἄννης, καὶ Σκήτην
τὴν Νέαν, ἔχουσαν τάφον σου
πηγὴν θαυμασίων
καὶ χειμάῤῥουν ἰαμάτων
πανοσιώτατε.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Μνήμην τὴν σὴν λαμπράν, Ἰωσήφ,
ἐπιτελοῦντες καὶ πανέορτον σήμερον
εὐσήμῳ ἐν μεθεόρτῳ
τῆς τοῦ Ὑψίστου Μητρὸς
ἐκ τῆς γῆς εἰς πόλον
μεταστάσεως,
λαμπρᾶς ἀναστάσεως
καὶ σεπτῆς ἀναλήψεως,

σὲ μελῳδοῦμεν
ἡσυχίας ὡς πρόβολον,
καθαρότητος
διαυγὲς ἐνδιαίτημα,
νήψεως θεῖον ἔσοπτρον
καὶ πάντων προσφύγων σου
ἀλείπτην πνευματοφόρον
καὶ ὁδηγὸν ἀπλανέστατον
πρὸς πόλου σκηνώσεις,
ὧν λαμπρὸς οἰκήτωρ πέλεις,
Ἀγγέλων σύναυλε.

**Δόξα. Ἦχος πλ. δ΄.**

Πτωχείαν τοῦ Χριστοῦ τὸν ἐκ νεότητος ἀγαπήσαντα
καὶ πλούσιον ἐν ἀρεταῖς γενόμενον τιμήσωμεν,
Ἰωσὴφ τὸν τρισμέγιστον καὶ ἀγγελόβιον,
εὐχαῖς αὐτοῦ πολλοὺς πλουτίσαντα, οὕτω λέγοντες·
Ἀσκητὰ σπηλαιῶτα, ἐχθροῦ νοητοῦ ἀντίπαλε,
ὁ ἐν ἀφανείᾳ καὶ σαρκὸς σκληραγωγίᾳ πολιτευσάμενος,
πτωχοὺς τῇ ἁμαρτίᾳ καὶ χοϊκαῖς ἐπιθυμίαις ἀνάδειξον
τοὺς τιμῶντας ἐν ὕμνοις τὴν ἀεισέβαστον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι...

**Ἀπολυτίκιον.**
**Ἦχος** πλ. α΄. **Τὸν συνάναρχον Λόγον.**

Τὴν ψυχὴν ἐκκαθάρας συντόνοις σκάμμασι,
σκληραγωγίᾳ, νηστείᾳ,
ἀδιαλείπτῳ εὐχῇ,
ἀγρυπνίᾳ καὶ πεντάδος τῶν αἰσθήσεων
θεοφρουρήτῳ φυλακῇ
ἄρτι, μάκαρ Ἰωσήφ,
ἀπῆλθες Χριστῷ συνεῖναι,
Ὃν δυσωπεῖς ὑπὲρ πάντων,
Ἡσυχαστά, νῦν εὐφημούντων σε.

**Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Ἡσυχίαν φιλοῦντα, προσευχὴν ἀδιάλειπτον,
σιωπήν, ἀμεριμνισίαν,
νῆψιν καὶ κακοπάθειαν

τιμήσωμεν θεόπνουν Ἰωσήφ,
ὡς Ἄθωνος νεόφωτον φανόν,
καὶ ἀλείπτην μονοτρόπων
πρὸς Φωτοδότου θέαν ἀνακράζοντες·
Δόξα, τῷ σὲ δοξάσαντι Χριστῷ,
δόξα, τῷ σὲ στεφανώσαντι,
δόξα τῷ δεδωκότι σοι ἡμῖν
πρέσβυν ἀκοίμητον.

**Θεοτοκίον.** Τοῦ Γαβριὴλ φθεγξαμένου σοί, Παρθένε, τὸ χαῖρε...

**Ἀπόλυσις.**

************************************************

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Θεόφρον Ἰωσήφ,
ἐραστὰ ἡσυχίας,
εὐχῇ, ὑπακοῇ,
ἀγρυπνίᾳ καὶ νήψει
τὸν δόλιχον ἤνυσας
τῆς ἐνθέου ἀσκήσεως
καὶ κατήντησας
εἰς οὐρανίους σκηνώσεις
συναγάλλεσθαι
τοῖς ἀπ᾽ αἰῶνος ὁσίοις
πατράσι τοῦ Ἄθωνος.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν.** Θεοτοκίον.

Πιστῶν καταφυγὴ
ἐν τοῦ βίου ἀνάγκαις,
παντοίοις πειρασμοῖς
καὶ κακώσεσι, Μῆτερ,
ἐπάκουσον, ἄχραντε,
τῆς φωνῆς τῆς δεήσεως
τῶν ἑκάστοτε
σοὶ προστρεχόντων ἐν δίναις,
ἀειπάρθενε,

ἡ τὸν Σωτῆρα τοῦ κόσμου
ἐν κόλποις βαστάσασα.

**Μετὰ τὴν β´. Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ´. Ταχὺ προκατάλαβε.**

Ἐκθύμως τιμῶμέν σε,
θεοειδὲς Ἰωσήφ,
τὸν καθαγιάσαντα
δακρύων τοῖς ὀχετοῖς
τὸ Ὄρος τὸ Ἅγιον,
καὶ ἐποφθέντα ἄρτι
στηλογράφημα θεῖον
ἡσυχασμοῦ καὶ φάρον
προσευχῆς ἀσιγήτου,
πατέρων νηπτικῶν παμφαὲς
ὄντως φρυκτώρημα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν.** Θεοτοκίον.

Πιστῶν παραμύθιον,
Θεογεννῆτορ σεμνή,
ἐν λύπαις καὶ θλίψεσι
τοῦ θεαυγοῦς Ἰωσὴφ
ἐνθέρμοις δεήσεσι
ῥῦσαι τοὺς σὲ ὑμνοῦντας
δυσθυμίας καὶ πλάνου
ἐπιβουλῆς, Παρθένε,
ἡ χαρὰ τῶν Ἀγγέλων
καὶ πάντων εὐσεβῶν, ἀγαθή,
τὸ ἀγαλλίαμα.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ´. Τὴν ὡραιότητα.**

Σκληραγωγούμενον καὶ ἡσυχάζοντα,
νήφοντα μέλψωμεν θερμῶς εὐχόμενον
καὶ θριαμβεύοντα ἐχθρὸν καμάτοις τοῖς νυχθημέροις,
Ἰωσὴφ τὸ Ὅσιον, ἀσκητὴν ἐνθεώτατον
ἄρτι ἁγιάσαντα ὄρος τὸ Ἁγιώνυμον
ἐν ἄκρᾳ εὐλαβείᾳ βοῶντες· Χαῖρε, Πνευματοφόρε πάτερ.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον· Ὁσιακόν (Λουκ. στ΄ 17 - 23).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
**Ζήτει τῇ Παρασκευῇ τῆς  Β΄ Ἑβδομάδος.**
**Ὁ Ν΄ Ψαλμός.**

**Δόξα.** Ταῖς τοῦ Σοῦ Ὁσίου, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

Σπηλαιώτην ἀσκητήν, Ἰωσήφ, εὐφημήσωμεν,
ὑπὲρ πάντας φιλοῦντα τὸν Κύριον τῆς δόξης,
ἡσυχίας ἐραστὴν καὶ νοερᾶς προσευχῆς ἐργάτην,
θεωθέντα κατὰ μέθεξιν οὕτω λέγοντες·
Ὁ τὸ ἱερὸν βῆμα τοῦ Ἄθωνος δείξας
παλαίστραν ἀσκητικῶν σου κατορθωμάτων,
ἀξίωσον καὶ ἡμᾶς ἀγῶσι παννύχοις πυκτεῦσαι
ἐχθρὸν τὸν παμβέβηλον.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς·**

" **Ἰωσὴφ Ἡσυχαστοῦ, Ἄθωνος εὔχους, αἶνος**. Χ. "

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Ἰσχὺν ἐνδυσάμενον
ἐκ τῆς νεότητος Πνεύματος
τοῦ Θείου τιμήσωμεν
ἡσυχαστὴν Ἰωσήφ,
ἐκδυσάμενον
ἁπάσης συναφείας

ῥεούσης ἱμάτιον
καὶ ματαιότητος.

Ὡραΐσμα Πάριον,
Λευκῶν λαμπρὸν σεμνολόγημα,
βλαστὲ εὐθαλέστατε,
θεοειδὲς Ἰωσήφ,
ῥίζης σώφρονος
καὶ πολυτέκνου, ἄρτι
ὀδμαῖς τῆς σῆς χάριτος
κόσμον καθήδυνας.

Συνέσει κοσμούμενος
καὶ εὐλαβείᾳ ὡς ἄγγελος
ἐν ὄρει ἐβίωσας
ἀσκητικῶς, Ἰωσήφ,
τῷ τοῦ Ἄθωνος,
ἐν ᾧ συντόνοις πόνοις
ἐχθρὸν κατεπύκτευσας
τὸν πολυμήχανον.

**Θεοτοκίον.**

Ἡ χάρις σου, Δέσποινα,
καθαγιάζει τοὺς δούλους σου,
τοὺς σὲ μακαρίζοντας,
Θεογεννῆτορ σεμνή,
ὡς ἀστείρευτον
ἁγιασμοῦ χειμάῤῥουν
καὶ βρύσιν πολύκρουνον,
Μῆτερ, χρηστότητος.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Φωστήρ, Ἰωσήφ, ἐνασκουμένων
ὁσίως, ἐφώτισας αὐγαῖς
σεπτῶν κατορθωμάτων σου
οὐ μόνον ὄρος Ἄθωνος
ἄλλα καὶ κτίσιν ἅπασαν
πρὸς ἀρετῆς ὁλοκλήρωσιν.

Ἡ χάρις τοῦ Πνεύματος τοῦ θείου
δροσίζουσα, μάκαρ Ἰωσήφ,
ἐκ χρόνων σῆς νεότητος
τὴν πάναγνον καρδίαν σου
ἠξίωσέ σε εὔοσμα
βλαστῆσαι ἄνθη ἀσκήσεως.

Σοφίαν θεόθεν δεδεγμένος
ὁ μὴ εὐμοιρήσας, Ἰωσήφ,
λαβεῖν παιδείαν θύραθεν,
παιδαγωγὸς ἀλάνθαστος
ἀζύγων ἐχρημάτισας
τῆς ἐκλεκτῆς συνοδίας σου.

**Θεοτοκίον.**

Ὑπέραγνε Κεχαριτωμένη,
πρεσβείαις Ὁσίου Ἰωσήφ,
θεοτερπῶς ἀσκήσαντος
ἐν τῷ περιβολίῳ σου,
ἐκ τῶν παγίδων ὄφεως
τοὺς σοὺς οἰκέτας διάσωσον.

**Κάθισμα. Ἦχος γ´. Θείας πίστεως.**

Ἡσυχάζοντα, κακοπαθοῦντα,
κοπιάζοντα καὶ ἀγρυπνοῦντα,
σιωπῶντα καὶ εὐχὴν ἐργαζόμενον
τοῦ Ἰησοῦ, Ἰωσὴφ εὐφημήσωμεν,
τὸν Σπηλαιώτην, ὡς Χάριτος σκήνωμα
καὶ ἰσάγγελον τῷ ὄντι βροτὸν καυγάζοντες·
Ὁσίων, χαῖρε, Ἄθωνος ὡράϊσμα.

Θεοτοκίον.

Τοῦ Παντάνατος Κυρίου Μῆτερ,
αὐτοκράτορας σοὺς δούλους δεῖξον
καὶ μετόχους τῆς ἀλήκτου εὐκλείας σου
τοὺς μεγαλύνοντας πλῆθος θαυμάτων σου
καὶ Ἰωσὴφ ἀνυμνοῦντας τὰ σκάμματα
πρὸς ἀνάβασιν βαθμίδων τῶν τῆς θεώσεως,
Παντάνασσα, σεμνὴ Θεογεννήτρια.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Χάρις Πνεύματος τοῦ Θείου,
Ἰωσήφ, ἐπεσκίασε
σὲ πλουσίως, μάκαρ,
ἐκ τῶν χρόνων σοῦ τῆς νεότητος
καὶ ἔδειξέ σε νεφέλην πνευματέμφορον,
Ἁγιώνυμον
ὄρος ἀρτίως καλύψασαν.

Ἀσκουμένων κοσμιότης,
Ἰωσὴφ χαριτόβρυτε,
ἐν σμικρῷ σπηλαίῳ
τοῦ Ἁγίου Ὄρους ἐδόμησας
Ναὸν Κυρίου Προδρόμῳ, οὗ ὁμόζηλος
πόνων πέφηνας
τῆς ἰσαγγέλου ἀσκήσεως.

Σιωπῆς τῆς ψυχοτρόφου,
Ἰωσήφ,ἀκροθίνιον,
ἀρετῆς πυξίον,
νοερᾶς εὐχῆς ἐντευκτήριον
καὶ ἡσυχίας ὀφθεὶς κανών, τὴν μνήμην σου
ἑορτάζομεν
νῦν εὐλαβῶς τὴν σεβάσμιον.

**Θεοτοκίον.**

Τὴν θερμὴν ἀντίληψίν σου
πρὸς τοὺς κάμνοντας δούλους σου,
σκέπην, προστασίαν
ταχινὴν καὶ θείαν βοήθειαν
σοῦ ἀνυμνοῦμεν πρὸς πάντα ἐμπερίστατον,
Μητροπάρθενε,
Θεογεννῆτορ πανύμνητε.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Ὁσίων τοῦ Ἄθωνος
ἡσυχαστῶν καλλώπισμα,
σύσκηνε ὀλβίου Ἀρσενίου,
καὶ Χαραλάμπους,

θεοειδὲς Ἰωσήφ,
Ἐφραὶμ καὶ ἑτέρου Ἰωσήφ,
πόνοις σου κατῄσχυνας
θαυμαστοῖς τὸν ἀρχέκακον.

Ὑμνοῦντες ἀγῶνάς σου
συντόνους πρὸς τελείωσιν
πάσης ἀρετῆς σὲ μελῳδοῦμεν,
Ὅσιε Πάτερ,
Ἀθωνιτῶν ὡς φανόν,
ἐκλαμψαντα ἄρτι ἀστραπαῖς
αὐστηρᾶς τηρήσεως
ἡσυχίας καὶ νήψεως.

Ἀπέπνιξας ῥεύμασι
δακρύων καὶ ἱδρώτων σου,
μάκαρ Ἰωσήφ, τῶν νυχθημέρων
ἐν σῷ σπηλαίῳ
τὸν τῶν βροτῶν πτερνιστήν,
Προδρόμου ὁμόζηλε σεπτοῦ,
τοῦ τὰ ἰορδάνεια
ἁγιάσαντος ὕδατα.

**Θεοτοκίον.**

Θεόνυμφε Δέσποινα,
σεμνὴ Θεογεννήτρια,
μέλποντες πληθὺν σῶν θαυμασίων
ἀναβοῶμεν·
Εὐλόγει δούλους τοὺς σούς,
ἐλέει ταχὺ τοὺς ἐνδεεῖς
καὶ βοήθει ἅπασι
τοῖς ἀλγοῦσι καὶ στένουσι.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ὡς ἀκριβῆ ὑποσχέσει σου
τῆς μεγαλοσχημίας τιμῶμέν σε,
πίστει τηρήσαντα,
ὦ Ἰωσήφ, τὴν ἐγκράτειαν,
ὑπακοήν, πτωχείαν
καὶ κακοπάθειαν.

Ναὸν Προδρόμῳ ἀνήγειρας,
ἀσκήσεως οὗ τρίβους ἐβάδισας,
ἔνδον σπηλαίου σου,
ὦ Ἰωσήφ, ὃν ἡγίασας
ἱδρώτων καὶ δακρύων
σῶν θείων ῥεύμασι.

Ὁσίως δόλιχον ἤνυσας,
σοῦ βίου, Ἰωσήφ, ἐν τῷ Ἄθωνι
καὶ ἐξεμέτρησας
ἐν Νέᾳ Σκήτῃ, θεσπέσιε,
τὸ ζῆν ἐν μέσῳ, μάκαρ,
ὁσίων τέκνων σου.

**Θεοτοκίον.**

Σαρκὶ τεκοῦσα τὸν ἄσαρκον
Υἱὸν Θεοῦ, Παρθένε, ἐθέωσας
γένος τὸ βρότειον,
τὸ ἐκπεσὸν δι' ἀπείθειαν
ἐκ Παραδείσου, Μῆτερ,
πιστῶν διάσωσμα.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τὸν σπηλαιώτην Ἰωσὴφ ἐγκωμιάσωμεν,
Ἡσυχαστὴν ὡς ἀφανῆ καὶ ταπεινόφρονα,
ἐργασάμενον ἐν ὄρει εὐχὴν τοῦ Ἄθω
νοερὰν ἀδιαλείπτως καὶ γενόμενον
μονοτρόπων ὑφηγήτορα πρὸς θέωσιν
πόθῳ ψάλλοντες· Χαίροις, Πάτερ ἰσάγγελε.

**Ὁ Οἶκος.**

Ἄγγελος ἐν τῷ Ἄθῳ,
Ἰωσήφ, ἀνεδείχθης,
σεπτὲ Ἡσυχαστά, φωτοφόρος,
κατὰ μέθεξιν ὁ θεωθείς,
ταπεινοφροσύνης, προσευχῆς, νήψεως
καὶ ἀκτησίας κόσμημα·
διό σοι ἐν χορῷ βοῶμεν·

Χαῖρε, Λευκῶν τῶν ἐν Πάρῳ γόνος·
χαῖρε, ἠθῶν τῶν ἀμέμπτων φάρος.

Χαῖρε, δυσπροσίτου σπηλαίου ὁ ἔνοικος·
χαῖρε, νυχθημέρου ἀγῶνος ὁ πρόβολος.

Χαῖρε, εὖχος ταπεινώσεως ἄκρας καὶ ὑπακοῆς·
χαῖρε, στῦλος ἀδιάσειστος ἐν Χριστῷ καινῆς ζωῆς.

Χαῖρε, ἀδιαλείπτου προσευχῆς ὁ ἐργάτης·
χαῖρε, τοῦ Ζωοδότου συμπαθείας ἐπαίτης.

Χαῖρε, βαλβὶς ἐνθέου ἀσκήσεως·
χαῖρε, πυξὶς ἀζύγων θεώσεως.

Χαῖρε, Χριστὸν ἀρεταῖς ὁ εὐφράνας·
χαῖρε, ἐχθρὸν νοητὸν ὁ συντρίψας·

Χαίροις, Πάτερ ἰσάγγελε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΣΤ΄ Αὐγούστου. Εἶτα λέγομεν.**

Τῇ ιστ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν, Ἰωσὴφ τοῦ Ἡσυχαστοῦ, τοῦ καὶ Σπηλαιώτου.

**Στίχοι.**

**Ἡσυχίαν φιλῶν, Ἰωσήφ, καὶ νῆψιν**
**εὐχὴν εἰργάσω ἐν Ἄθωνι ἀόκνως.**

Συναξάριον.

Ὁ ὅσιος καὶ θεόφορος πατὴρ ἡμῶν Ἰωσὴφ ὁ Ἡσυχαστής, ὁ ἀρτίως ἐκλάμψας ἐν Ἄθωνι ἀστραπαῖς ἀσκητικῶν κατορθωμάτων, ἐγεννήθη ἐν τῇ κώμῃ τῶν Λευκῶν τῆς ἁγιοτόκου καὶ ἁγιοτρόφου νήσου Πάρου τῇ 12ῃ Φεβρουαρίου τοῦ 1897. Τρίτον ὢν τέκνον τῆς πολυτέκνου ἐξ ἑπτὰ τέκνων οἰκογενείας τῶν εὐσεβῶν Γεωργίου καὶ Μαρίας Κόττη ἔλαβε τὴν κλῆσιν Φραγκῖσκος κατὰ τὸ ἅγιον βάπτισμα. Ὄντως αὐτοῦ ἐν σμικρᾷ ἡλικίᾳ ἐκοιμήθη ὁ αὐτοῦ πατὴρ καὶ τὴν προστασίαν τοῦ οἴκου ἀνέλαβεν ἡ μήτηρ αὐτοῦ βοηθουμένη ὑπὸ τῶν τέκνων αὐτῆς πρὸς ἐξοικονόμησιν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. Ὁ Φραγκῖσκος εὐμοίρησε μαθεῖν μόνον τὰ ἐγκύκλια γράμματα τῆς δευτέρας Δημοτικοῦ ὡς πρόθυμος ἀρωγὸς τῇ μητρὶ αὐτοῦ ἐν ταῖς ἀγροτικαῖς ἐργασίαις.

Περατώσας τὴν θητείαν αὐτοῦ ἐν τῷ στρατεύματι καὶ ἀφυπηρετήσας ἐκ τοῦ Πολεμικοῦ Ναυτικοῦ ἦλθεν εἰς Πειραιᾶ, ἔνθα

εἰργάσθη ὡς μικοροπωλητής. Ἀναγιγνώσκων ἐκεῖ βίους Ἁγίων ἐπεθύμησεν αὐτῶν μιμητὴς γενέσθαι καὶ τὴν ἀσκητικὴν ὀδεῦσαι τρίβον. Ὅθεν πολλάκις ἠγρύπνει ἐν ταῖς σπηλαίοις καὶ ὀπαῖς τοῦ Πεντελικοῦ ὄρους μιμούμενος τοὺς στυλίτας ὁσίους.

Ἐλθὼν ὁ εὐλαβὴς νέος εἰς Ἅγιον Ὄρος ἐν ἔτει 1921 κατηυθύνθη εἰς Κατουνάκια καὶ ἔσχε πνευματικὸν ἰθύντορα τὸν ὁσιώτατον Δανιήλ, τὸν Σμυρναῖον, τῆς ἀδελφότητος τῶν Δανιηλαίων. Τῇ εὐλογίᾳ αὐτοῦ μετὰ παρέλευσιν τριῶν ἐτῶν ἀνεχώρησε διὰ τὴν ἔρημον, τὸν ἡσυχασμὸν καὶ τὴν ἀπομόνωσιν, ἵνα μόνος μόνον Θεῷ προσομιλῇ. Ἐν τῇ Κορυφῇ τοῦ Ἄθωνος κατὰ τὴν ἑορτὴν τῆς Θείας τοῦ Σωτῆρος Μεταμορφώσεως ἐγνώρισε τὸν εἶτα ὁμόζηλον καὶ ὁμότροπον αὐτοῦ συνασκητὴν Ἀρσένιον, μεγαλόσχημον ἤδη μοναστὴν τῆς Μονῆς Σταυρονικήτα. Μετ᾽ αὐτοῦ ἠρεύνα πρὸς ἐξεύρεσιν αὐστηροῦ, διακριτικοῦ καὶ νηπτικοῦ Γέροντος, ὃν εὗρεν ἐν τοῖς προσώποις τῶν αὐταδέλφων ἀσκητῶν, Ἐφραὶμ καὶ Ἰωσήφ, ἐν προβεβηκυίᾳ ἡλικίᾳ ἀσκουμένων ἐν τῷ ἱερῷ κελλίῳ τοῦ Εὐαγγελισμοῦ τῶν Κατουνακίων. Ὑποταγεὶς σὺν τῷ Ἀρσενίῳ αὐτοῖς ἔλαβε τῇ 31ῃ Αὐγούστου τοῦ 1924 τὸ μοναχικὸν σχῆμα ἐν τῇ ἡλικίᾳ τῶν 28 ἐτῶν. Ἡ αὐτοῦ κουρὰ ἔλαβε χώραν ἐν τῷ σπηλαίῳ τοῦ Ἁγίου Ἀθανασίου παρὰ τὴν Βίγλαν τοῦ Ἄθωνος.

Διὰ περισσοτέραν ἡσυχίαν ὁ Ὅσιος μετέβη μετὰ τοῦ Ἀρσενίου ἐν ἔτει 1928 εἰς τὴν δυσπρόσιτον Σκήτην τοῦ Ἁγίου Βασιλείου, ἔνθα παρέμεινεν ἐπὶ δεκαετίαν πνευματικῶς ἀσκούμενος, εὐχόμενος, νηστεύων καὶ νήφων καὶ ἀξιούμενος πολλῶν ἐμπειριῶν τῆς Θείας Χάριτος. Ἐν τῇ περιόδῳ αὐτῇ ἔσχε καὶ ὑποτακτικὸν τὸν Ὅσιον Ἐφραίμ, τὸν Κατουνακιώτην ὡς καὶ τὸν αὐτοῦ ὁμαίμονα Νικόλαον, λαβόντα τὴν κλῆσιν Αθανάσιος.

Δεξάμενος τὴν πνευματικὴν ἀζύγων ποδηγεσίαν μετέβη τῇ 1ῃ Ἰανουαρίου τοῦ 1928 εἰς τὴν Ἱερὰν Σκήτην τῆς Μικρᾶς Ἁγίας Ἄννης, ὅπου σμικρὸν σπήλαιον ᾤκησεν πλησίον ναϋδρίου τοῦ Τιμίου Προδρόμου, ὃ ἐκ βάθρων ἐδόμησεν. Ἐν αὐτῷ ἔσχεν νέους ὑποκακτικούς, τὸν ἐκ Κύπρου μοναχὸν Σωφρόνιον, εἶτα Ἰωσήφ, Γέροντα τῆς Μονῆς Βατοπεδίου, Χαραλάμπη, εἶτα Καθηγούμενον τῆς Μονῆς Διονυσίου καὶ Ἐφραίμ, τὸν εἶτα Ἀριζονίτην, Καθηγούμενον Μονῆς Φιλοθέου καὶ κτίτορα εἰκάδος Μονῶν ἐν Ἀμερικῇ καὶ Καναδᾷ.

Ἐν ἔτει 1953 ὁ Ὅσιος Γέρων Ἰωσὴφ μετὰ τῆς θεολέκτου αὐτοῦ συνοδίας κατεστάθη ἐν τῇ Καλύβῃ τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου παρὰ τὸν Πύργον τῆς Νέας Σκήτεως ἔνθα καὶ ἐκοιμήθη τὸν ὕπνον τῶν δικαίων τῇ 15ῃ Αὐγούστου τοῦ ἔτους 1959 ἐκ καρδιακῆς ἀνεπαρκείας ἕνεκα τῆς ὑπερφύσιν αὐτοῦ ἐνασκήσεως.

Τοῖς δέλτοις τῶν Ἁγίων κατεγράφη τῇ 9ῃ Μαρτίου τοῦ 2020.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Ἔχων σύνοικον
καὶ πόνων σου ὁμότροπον
σεπτὸν Ἀρσένιον,
θεοειδὲς Ἰωσήφ,
τὴν Σκήτην ἐνῴκησας
οὐρανοφάντορος
τὴν δυσπρόσιτον
καὶ δύσβατον καὶ ἄνικμον
Βασιλείου τοῦ Μεγάλου.

Ὑμνῳδίαις σε
τὸν μαθητὴν γεραίρομεν,
πνευματοφόρητε,
τῶν Ἰωσὴφ καὶ Ἐφραίμ,
ὧν τρόπος ἀσκήσεως,
εὐχῆς καὶ νήψεως,
μάκαρ, ἔθελξε
καρδίαν σου, τὴν θέλουσαν
τῷ Χριστῷ εὐαρεστῆσαι.

Χαῖρε, δαίμονος
αἰσχύνη τε καὶ σύντριμμα,
χαῖρε, ἰσάγγελε
πάτερ ἡμῶν, Ἰωσήφ,
οὗ θεῖα παλαίσματα
καὶ κατορθώματα
ὄρος Ἄθωνος
ἐγκωμιάζει, ὅσιε,
χαῖρε, κλέος μονοτρόπων.

**Θεοτοκίον.**

Ὁδηγήτρια
πιστῶν πρὸς πόλου δώματα,
Θεογενήτρια,
ἴθυνον πάντας ἡμᾶς
ἐν λάκκῳ καθεύδοντας

τῆς ἀπογνώσεως
πρὸς ἐπίγνωσιν
τῆς ἀληθείας, Δέσποινα,
πάντας τῆς διασῳζούσης.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Ὕμνων καταστέφομέν σε ῥόδοις,
πανόσιε Ἰωσήφ, ἐχθροῦ τὰ ἔνεδρα
προσευχῇ συντρίψαντα
καὶ παννύχοις στάσεσιν,
Ἡσυχαστὰ θεόσοφε,
σὺν συνεστίοις σου,
ἀλείπτης ἀπλανὴς ὢν ἐφάνης
καὶ σεπτὸς ἰθύντωρ
πρὸς οὐρανοῦ σκηνώσεις.

Στάθμη ἐγκρατείας, ἀγρυπνίας,
σαρκίου κακοπαθείας, ταπεινώσεως,
Ἰωσήφ, καὶ νήψεως
ἐποφθεὶς διέλαμψας
ὡς ἄστρον ὁσιότητος
ἐν ὄρει Ἄθωνος,
φωτίζον χάριτός σου ἀκτῖσι,
κτίσεως τὰ πλάτη,
πνευματοφόρε πάτερ.

Ἄθωνος διάκοσμος ὡς νέος,
τρισόλβιε Ἰωσήφ, συντόνων πόνων σου
μαργαρίταις σύστημα
μοναστῶν ἠγλάϊσας
καὶ στεφοδότῃ Κτίσαντι
κατευηρέστησας,
τῷ δόντι σοι ἀμάραντον στέφος
τῆς ἐν Παραδείσῳ
ἀφθίτου εὐφροσύνης.

**Θεοτοκίον.**

Ἴασαι ἡμῶν τὰς ἀσθενείας,
ἐπίσκεψαι τοὺς ἐν κλίναις πόνου στένοντας,
τοὺς ἀλγοῦντας κούφισον

σοὶ τοὺς καταφεύγοντας
εὐχῶν φαρμάκῳ θείων σου,
Θεογεννήτρια,
ἰάτειρα ψυχῶν καὶ σωμάτων,
Κεχαριτωμένη,
ἐνθέρμων σου προσφύγων.

**Ὠδὴ θ΄. Ἅπας γηγενής.**

Νέκταρ, Ἰωσήφ,
ἐκ θείων χειλέων σου
σοφίας κρείττονος
ἀποστάζον, ἥδυνε
τῶν φοιτητῶν σου
καρδίας, ὅσιε,
ὁ ἐκ τῆς πέτρας πίστεως
ἐβλύζων νάματα
σωτηρίας
πᾶσι τοῖς προστρέχουσι
νουθεσίαις καὶ θείοις σου ρήμασι.

Ὄλβος, Ἰωσήφ,
ὑπάρχων τοῦ Ἄθωνος
πολυτιμότατος,
χάριτος ὁ ἔμπλεως,
ταῖς ἀρεταῖς σου
σοφῶς ἠγόρασας
ζωὴν τὴν αἰωνίζουσαν,
ἧς καταξίωσον
καὶ τοὺς πίστει
μέλποντας τὴν μνήμην σου,
τὴν λαμπρὰν καὶ πανέορτον, ὅσιε.

Σοῦ, ἡσυχαστά,
τὰ σκάμματα μέλποντες
τὰ ὑπὲρ ἔννοιαν,
σιωπήν, ταπείνωσιν,
σκληραγωγίαν
σαρκός, ἀφάνειαν
καὶ νῆψιν ἐκδεχόμεθα
τὰς ἱκεσίας σου
τὰς ἐνθέρμους

πρὸς τὸν πανοικτίρμονα
Λυτωτὴν καὶ Σωτῆρα τῆς κτίσεως.

**Θεοτοκίον.**

Χάριτος Θεοῦ,
χρυσότευκτον μέλαθρον,
Θεογεννήτρια,
Παναγία Δέσποινα,
χαρίτων θείων
σοὺς δούλους ἔμπλησον,
τοὺς Ἰωσὴφ παλαίσματα
νῦν μεγαλύνοντας,
ἅπερ ἔτλη
ἄρτι ἐν τῷ Ἄθωνι,
τῷ τερπνῷ καὶ εὐόσμῳ λειμῶνί σου.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Ἡσυχαστὰ θεόσοφε,
σπηλαίου θεῖε ἔνοικε
Ἁγίου Ὄρους, ἀσκήσει
ὁ θεωθείς, ἐκδυσώπει
Χριστὸν διδόναι ἅπασι
σέ, Ἰωσήφ, γεραίρουσιν
ὡς μοναστῶν ἀρχέτυπον
ἄμφω ὑγίειαν, σθένος,
ἰσχύν, παμμάκαρ, καὶ ῥῶσιν.

Θεοτοκίον.

Ἁγίου Ὄρους ἔφορε
καὶ φύλαξ καὶ κραταίωμα,
Θεογεννῆτορ Παρθένε,
σὲ μεγαλύνομεν πόθῳ
ὡς ἔνδοξον Παντάνασσαν,
τὴν ἐν ἀγκάλαις φέρουσαν
Παμβασιλέα Κύριον,
Λόγον Θεοῦ τοῦ Ὑψίστου,
τὸν δι᾽ ἡμᾶς σαρκωθέντα.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος!**

Χαίροις, Ἰωσήφ, πανόσιε,
ὁ καθαρός, ἀκριβής,
αὐστηρός, ὁσιώτατος,
ἀληθῶς ἀμίαντος,
τοῦ Χριστοῦ φίλος γνήσιος,
σκληραγωγίᾳ,
παννύχοις στάσεσιν,
ἀδιαλείπτῳ
εὐχῇ καὶ δάκρυσιν
ὁ θείαν κλίμακα
ἀρετῶν ἐν Ἄθωνος ταῖς παρυφαῖς
ἀνελθὼν καὶ μέτοχος
δόξης γενόμενος.

Πάτερ Ἰωσήφ, πανθαύμαστε,
Ἁγίας Ἄννης Μικρᾶς
ἐν σπηλαίῳ τῆς Σκήτεως
ἐν ἐσχάτοις ἔτεσιν
ὁ ἀσκήσας ὡς ἄσαρκος
καὶ θριαμβεύσας
τὸν πολυμήχανον
εὐχῇ ἀόκνῳ
καὶ νήψει, ἔφθασας
ὕψος εἰς ἄῤῥητον
ἀπαθείας, ὅσιε, καὶ τὸν Χριστὸν
κατιδεῖν ἠξίωσαι
ἰδίοις ὄμμασι.

Πάτερ Ἰωσήφ, θεσπέσιε,
ἡσυχαστῶν ἀκρεμών,
ὁ ἐκ Πάρου ὁρμώμενος,
ἐν τῷ ὄρει Ἄθωνος
Δανιὴλ ὑφηγήτορα,
Κατουνακίων
ἔσχες τὸ κλέϊσμα,
καὶ διδασκάλους,
Ἐφραὶμ σεμνότατον
καὶ τὸν ὁμαίμονα
Ἰωσὴφ ἀοίδιμον αὐτοῦ, καλῶς
οἷσπερ εὐηρέστησας
σῇ ταπεινότητι.

Πάτερ Ἰωσήφ, πανύμνητε,
ὁ ἡσυχίαν φιλῶν
καὶ ποθῶν τῷ Παντάνακτι
ὁμιλεῖν ἀείποτε
μόνον, ἔσχες συνοίκους σου,
συνασκητάς σου
καὶ ὁμοζήλους σου,
τὸν ἐν πατράσι
σοφοῖς Ἀρσένιον,
Ἐφραὶμ τὸν ἔνθεον,
Χαραλάμπη ἄμεμπτον καὶ Ἰωσήφ,
θεῖον, Βατοπέδιον
τὸν ἐνοικήσαντα.

**Δόξα. Ἦχος πλ. α΄.**

Σήμερον γῆ καὶ οὐρανὸς συναγάλλονται
καὶ χορεῖαι ἀγγέλων καὶ ἀνθρώπων συνεορτάζουσι
τελοῦντες τὴν μνήμην Ἰωσήφ, τοῦ νέου ἐν ἡσυχασταῖς φωστῆρος,
καταγλαΐσαντος Ἄθωνα ἀσκητικοῖς πυρσεύμασιν·
οὗτος γὰρ διασκεδάσας παθῶν καὶ ῥεόντων ἀγαθῶν τὴν ὁμίχλην
τῶν ἐπηγγελμένων ἀγαθῶν μετέβη ἀπολαῦσαι
καὶ μετασχεῖν τῆς ἀλήκτου μακαριότητος,
ἔνθα Χριστὸν δυπωπεῖ ὑπὲρ τῶν τιμώντων αὐτοῦ τὰ παλαίσματα.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ ’Απόλυσις.**

****************************************

# Ε Ν Τ ΗΙ Λ Ε Ι Τ Ο Υ Ρ Γ Ι ΑΙ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος· Πρὸς Γαλάτας** (Κεφ. ε΄ 22 - στ΄ 2 ).
Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστι, χαρά,...
**Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ΄ Ἑβδομάδος.**

**Εὐαγγέλιον· Κατὰ Λουκᾶν** (Κεφ. ιγ΄ 17 - 23 ).
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
**Ζήτει τῇ Πέμπτῃ τῆς Δ΄ Ἑβδομάδος.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

**Μεγαλυνάριον.**

Χαίροις, νήσου Πάρου σεπτὸς βλαστός,
χαίροις, ὄρους Ἄθω
ἐνδιαίτημα, Ἰωσήφ,
χαίροις, ὑφηγῆτορ
διαγωγῆς ἀμέμπτου,
εὐχῆς ἀδιαλείπτου,
μάκαρ, καὶ νήψεως.

**Τρισσεῦον Κύριε Ἐλέησον Λιτῆς Ἁγίου Ὄρους.**

***Ἰωσήφ,*** **περίβλεπτον*, ἡσυχίας σέμνωμα* εὔχεσθαί με δίδαξον.**

Δίστιχον.

**Ἰωσὴφ ἔμελψεν, ἡσυχίας εὖχος,**
**σὺν Χρυσοστόμῳ καὶ Ἐφραὶμ Χαραλάμπης.**

ΤΕΛΟΣ ΚΑΙ ΔΟΞΑ Τῼ ΜΟΝῼ ΑΛΗΘΙΝῼ ΘΕῼ ΗΜΩΝ

**Ἀριθμ. Καταλ. Α 914 / 10-8-20**